www.e-rara.ch

**Antonini Liberalis Transformationum congeries**

**Antoninus**

**Basileae, 1568**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-153

Markou Antōninou autokratoros, tōn eis heauton; biblion 7.

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

θεραπευομένοις ὑγιεινόν; πόσοι μεθ' ὧν εἰσῆλθον εἰς τὸν κόσμον ἤδη ἀπεληλύθασιν. ἰκτεριῶσι, τὸ μέλι πικρὸν φαίνεται. καὶ λυσσοδήκτοις τὸ ὕδωρ φοβερόν· καὶ παιδίῳ τὸ σφαιρίον καλόν. τί οὖν ὀργίζομαι, ἢ δοκεῖ σοι ἔλασσον ἰσχύειν τὸ διεψευσμένον, ἢ τὸ χολίον τῷ ἰκτεριῶντι, καὶ ὁ ἰὸς τῷ λυσσοδήκτῳ. κατὰ τὸν λόγον τῆς σῆς φύσεως, βιοῦν σε οὐδεὶς κωλύσει. παρὰ τὸν λόγον τῆς κοινῆς φύσεως οὐδέν σοι συμβήσεται. οἷοί εἰσιν οἷς θέλουσιν ἀρέσκειν, καὶ διὰ οἷα περιγινόμενα; καὶ δι' οἵων ἐνεργειῶν; ὡς ταχέως ὁ αἰὼν πάντα καλύψει, καὶ ὅσα ἐκάλυψεν ἤδη.

# ΜΑΡΚΟΥ ἈΝΤΩΝΙΝΟΥ αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν βιβλίον ζ'.

Τί ἐστι κακία; τοῦτ' ἔστιν ὅπερ πολλάκις εἶδες. καὶ ἐπὶ παντὸς δὲ τοῦ συμβαίνοντος πρόχειρον ἔχε, ὅτι τοῦτό ἐστιν ὅπερ πολλάκις εἶδες. ὅλως ἄνω κάτω τὰ αὐτὰ εὑρήσεις, ὧν μεσταὶ αἱ ἱστορίαι αἱ παλαιαί, αἱ μέσαι, αἱ ὑπόγυιοι, ὧν νῦν μεσταὶ αἱ πόλεις, καὶ οἰκίαι, οὐδὲν καινόν·

πάντα καὶ συνήθη ὀλιγοχρόνια. Τὰ δόγματα πῶς ἄλλως δύναται νεκρωθῆναι, ἐὰν μὴ αἱ κατάλληλοι αὐτοῖς φαντασίαι σβεσθῶσιν, ὡς διηνεκῶς ἀναζωπυρεῖν, ἐπὶ σοί ἐστι δύναμαι περὶ τούτου ὃ δεῖ ὑπολαμβάνειν· εἰ δύναμαι, τί ταράσσομαι; τὰ ἔξω τῆς ἐμῆς διανοίας οὐδὲν ὅλως πρὸς τὴν ἐμὴν διάνοιαν. τοῦτο πάθε, καὶ ὀρθὸς εἶ. ἀναβιῶναί σοι ἔξεστιν. ἴδε πάλιν τὰ πράγματα ὡς ἑώρας· ἐν τούτῳ γὰρ τὸ ἀναβιῶναι. Πομπῆς κενοσπουδία, ἐπὶ σκηνῆς δράματα, ποίμνια, ἀγέλαι, διαδορατισμοί, κυνιδίοις ὀστάειον ἐρριμμένον, ψωμίον εἰς τὰς τῶν ἰχθύων δεξαμενάς. μυρμήκων ταλαιπωρίαι, καὶ ἀχθοφορίαι, μυϊδίων ἐπτοημένων διαδρομαί. σιγιλλάρια νευροσπαστούμενα. χρὴ οὖν ἐν τούτοις εὐμενῶς μὲν καὶ μὴ φρυαττόμενον ἑστάναι. παρακολουθεῖν μέντοι, ὅτι τοσούτου ἄξιος ἕκαστός ἐστιν, ὅσου ἄξιά ἐστι ταῦτα περὶ ἃ ἐσπούδακεν. Δεῖ κατὰ λέξιν παρακολουθεῖν τοῖς λεγομένοις, καὶ καθ' ἑκάστην ὁρμὴν τοῖς γινομένοις. καὶ ἐπὶ μὲν τοῦ ἑτέρου, εὐθὺς ὁρᾶν ἐπὶ τίνα σκοπὸν ἡ ἀναφορά. ἐπὶ δὲ τοῦ ἑτέρου παραφυλάσσειν τί τὸ σημαινόμενον. Πότερον ἐξαρκεῖ ἡ διάνοιά μου πρὸς τοῦτο, ἢ οὔ. εἰ μὲν ἐξαρκεῖ, χρῶμαι αὐτῇ πρὸς τὸ ἔργον ὡς ὀργάνῳ παρὰ τῆς τῶν ὅλων φύσεως δοθέντι. εἰ δὲ μὴ ἐξαρκεῖ, ἤτοι παραχωρῶ τοῦ ἔργου τῷ δυναμένῳ κρεῖττον ἀποτελέσαι, ἐὰν ἄλλως τοῦτο μὴ καθήκῃ. ἢ πράσ-

σω ὡς

καὶ ὡς δύναμαι προσπαραλαβὼν τὸν δυνάμενον κατὰ πρόσχρησιν τοῦ ἐμοῦ ἡγεμονικοῦ ποιῆσαι τὸ εἰς τὴν κοινωνίαν νῦν καίριον καὶ χρήσιμον. ὅτι γὰρ ἂν δι' ἐμαυτοῦ, ἢ σὺν ἄλλῳ ποιῶ, ὧδε μόνον χρὴ συντείνειν, εἰς τὸ κοινῇ χρήσιμον καὶ εὐάρμοστον. Ὅσοι μὲν πολυύμνητοι γενόμενοι, ἤδη λήθῃ παραδέδονται. ὅσοι δὲ τούτους ὑμνήσαντες, πάλαι ἐκποδών. Μὴ αἰσχύνου βοηθούμενος. πρόκειται γάρ σοι ἐνεργεῖν τὸ ἐπιβάλλον, ὡς στρατιώτῃ ἐν τειχομαχίᾳ. Τί οὖν ἐὰν σὺ μὲν χωλαίνων ἐπὶ τὴν ἔπαλξιν ἀναβῆναι μόνος μὴ δύνῃ, σὺν ἄλλῳ δὲ δυνατὸν ᾖ τοῦτο; Τὰ μέλλοντα μὴ ταρασσέτω. ἥξεις γὰρ ἐπ' αὐτὰ ἐὰν δεήσῃ, φέρων τὸν αὐτὸν λόγον, ᾧ νῦν πρὸς τὰ παρόντα χρᾷ. Πάντα ἀλλήλοις ἐπιπλέκεται. καὶ ἡ σύνδεσις ἱερά, καὶ σχεδόν τι οὐδὲν ἀλλότριον ἄλλο ἄλλῳ. συγκατατέτακται γὰρ καὶ συγκοσμεῖ τὸν αὐτὸν κόσμον. κόσμος τε γὰρ εἷς διὰ ἁπάντων, καὶ θεὸς εἷς διὰ πάντων, καὶ οὐσία μία καὶ νόμος εἷς. λόγος κοινὸς πάντων τῶν νοερῶν ζώων, καὶ ἀλήθεια μία, εἴγε καὶ τελειότης μία τῶν ὁμογενῶν, καὶ τοῦ αὐτοῦ λόγου μετεχόντων ζώων. πᾶν τὸ ἔνυλον, ἐναφανίζεται τάχιστα τῇ τῶν ὅλων οὐσίᾳ· καὶ πᾶν αἴτιον, εἰς τὸν τῶν ὅλων λόγον τάχιστα ἀναλαμβάνεται· καὶ παντὸς μνήμη τάχιστα ἐγκαταχώννυται τῷ αἰῶνι. Τῷ λογικῷ ζώῳ ἡ αὐτὴ πρᾶξις κατὰ φύσιν ἐστί, καὶ κατὰ λόγον· ὀρθὸς, ἢ ὀρθού-

μένος. οἷόν ἐστιν ἐν ἡνωμένοις τὰ μέλη τοῦ σώμα-
τος, τοῦτον ἔχει τὸν λόγον ἐν διεστῶσι τὰ λογικά,
πρὸς μίαν τινὰ συνεργίαν κατεσκευασμένα.
μᾶλλον δέ σοι ἡ τούτου νόησις προσπεσεῖται. ἐὰν
πρὸς ἑαυτὸν πολλάκις λέγῃς, ὅτι μέλος εἰμὶ τοῦ
ἐκ τῶν λογικῶν συστήματος. ἐὰν δὲ διὰ τοῦ ῥῶ
στοιχείου μέρος εἶναι ἑαυτὸν λέγῃς, οὔπω ἀπὸ καρδίας
φιλεῖς τοὺς ἀνθρώπους· οὔπω σε καταληπτικῶς
εὐφραίνει τὸ εὐεργετεῖν. ἔτι ὡς πρέπον αὐτὸ ψι-
λὸν ποιεῖς· οὔπω ὡς αὑτὸν εὖ ποιῶν. Ὃ θέλει ἔξω-
θεν προσπιπτέτω τοῖς παθεῖν ἐκ τῆς προσπτώ-
σεως ταύτης δυναμένοις. ἐκεῖνα γὰρ ἐὰν θελήσῃ
μέμψεται τὰ παθόντα. ἐγὼ δὲ ἐὰν μὴ ὑπολάβω ὅτι
κακὸν τὸ συμβεβηκὸς, οὔπω βέβλαμμαι. ἔξεστι δέ
μοι μὴ ὑπολαβεῖν. Ὅ,τι ἄν τις ποιῇ ἢ λέγῃ, ἐμὲ
δεῖ ἀγαθὸν εἶναι. ὡς ἂν εἰ ὁ χρυσὸς ἢ ὁ σμάραγ-
δος, ἢ ἡ πορφύρα τοῦτο ἀεὶ ἔλεγεν, ὅ,τις ἂν ποιῇ,
ἢ λέγῃ, ἐμὲ δεῖ σμάραγδον εἶναι, καὶ τὸ ἐμαυτοῦ χρῶ-
μα ἔχειν. Τὸ ἡγεμονικὸν, αὐτὸ ἑαυτῷ οὐκ ἐνοχλεῖ.
οἷον λέγω, οὐ φοβεῖ ἑαυτὸ εἰς ἐπιθυμίαν. εἰ δέ τις
ἄλλος αὐτὸ φοβῆσαι ἢ λυπῆσαι δύναται, ποιεί-
τω. αὐτὸ γὰρ ἑαυτὸ ὑποληπτικῶς οὐ τρέψει εἰς
τοιαύτας τροπάς. τὸ σωμάτιον μὴ πάθῃ τι, αὐτὸ
μεριμνάτω εἰ δύναται, καὶ λεγέτω εἴ τι πάσχει.
τὸ δὲ ψυχάριον, τὸ φοβούμενον, τὸ λυπούμενον, τὸ
περὶ τούτων ὅλως ὑπολαμβάνον, οὐδὲν μὴ πά-
θῃ. οὐ

θῃ. οὐ γὰρ ἕξεις αὐτὸ εἰς κρίσιν τοιαύτην. ἀπροσδεές
ἐστιν ὅσον ἐφ' ἑαυτῷ, τὸ ἡγεμονικὸν, ἐὰν μὴ ἑαυτῷ
ἔνδειαν ποιῇ. κατὰ ταῦτα δὲ καὶ ἀτάραχον, καὶ
ἀνεμπόδιστον, ἐὰν μὴ ἑαυτὸ ταράσσῃ καὶ ἐμπο-
δίζῃ. Εὐδαιμονία ἐστὶ, δαίμων ἀγαθὸς, ἢ ἀγα-
θόν. τί οὖν ὧδε ποιεῖς ὦ φαντασία; ἄπερχου
τοὺς θεούς σοι, ὡς ἦλθες, οὐ γὰρ χρῄζω σου. ἐλήλυθας
δὲ κατὰ τὸ ἀρχαῖον ἔθος. οὐκ ὀργίζομαί σοι. μόνον
ἄπιθι. Φοβεῖταί τις μεταβολήν. τί γὰρ δύναται
χωρὶς μεταβολῆς γενέσθαι; τί δαὶ φίλτερον ἢ
οἰκειότερον τῇ τῶν ὅλων φύσει; Σὺ δὲ αὐτὸς λούσα-
σθαι δύνασαι, ἐὰν μὴ τὰ ξύλα μεταβάλῃ; τραφῆ-
ναι δὲ δύνασαι, ἐὰν μὴ τὰ ἐδώδιμα μεταβάλῃ;
ἄλλο δέ τι τῶν χρησίμων δύναται συντελεσθῆναι χω-
ρὶς μεταβολῆς; οὐχ ὁρᾷς οὖν ὅτι καὶ αὐτὸ τό σε μετα-
βαλεῖν ὅμοιόν ἐστι, καὶ ὁμοίως ἀναγκαῖον τῇ τῶν ὅ-
λων φύσει διὰ τῆς τῶν ὅλων οὐσίας, ὡς διὰ χειμάῤ-
ῥου διεκπορεύεται πάντα τὰ σώματα, τῷ ὅλῳ συμ-
φυῆ καὶ συνεργὰ, ὡς τὰ ἡμέτερα μέρη ἀλλήλοις.
πόσους ἤδη ὁ αἰὼν Χρυσίππους, πόσους Σωκρά-
τεις, πόσους Ἐπικτήτους καταπέπωκε; τὸ δ' αὐ-
τὸ καὶ ἐπὶ παντὸς οὑτινοσοῦν σοι ἀνθρώπου τε καὶ
πράγματος προσπιπτέτω. Ἐμὲ ἓν μόνον πε-
ρισπᾷ, μή τι αὐτὸς ποιήσω, ὃ ἡ κατασκευὴ τοῦ
ἀνθρώπου οὐ θέλει, ἢ ὡς οὐ θέλει, ἢ ὃ νῦν οὐ θέλει.
ἐγγὺς μὲν ἡ σὴ περὶ πάντων λήθη. ἐγγὺς δὲ

ἡ παν-

ἡ πάντων περὶ σοῦ λήθη. Ἴδιον ἀνθρώπου φιλεῖν καὶ τοὺς πταίοντας. τοῦτο δὲ γίνεται, ἐὰν συμπροσπίπτῃ σοι, ὅτι καὶ συγγενεῖς, καὶ δι᾽ ἄγνοιαν, καὶ ἄκοντες ἁμαρτάνουσι, καὶ ὡς μετ᾽ ὀλίγον ἀμφότεροι τεθνήξετε. καὶ πρὸ πάντων, ὅτι οὐκ ἔβλαψέ σε. οὐ γὰρ τὸ ἡγεμονικόν σου χεῖρον ἐποίησεν, ἢ πρόσθεν ἦν. Ἡ τῶν ὅλων φύσις, ἐκ τῆς ὅλης οὐσίας, ὡς κηροῦ, νῦν μὲν ἱππάριον ἔπλασε, συγχέασα δὲ τοῦτο, εἰς δένδρου φύσιν συνεχρήσατο τῇ ὕλῃ αὐτοῦ· εἶτα εἰς ἀνθρωπάριον; εἶτα εἰς ἄλλο τι. ἕκαστον δὲ τούτων πρὸς ὀλίγιστον ὑπέστη. δεινὸν δὲ οὐδὲν τὸ διαλυθῆναι τῷ κιβωτίῳ· ὥσπερ οὐδὲ τὸ συμπαγῆναι· Τὸ ἐπίκοτον τοῦ προσώπου λίαν παρὰ φύσιν, ὅταν πολλάκις ἐναποθνήσκῃ τὸ πρόσχημα. ἢ τὸ τελευταῖον ἀπεσβέσθη, ὥστε ὅλως ἐξαφθῆναι μὴ δύνασθαι. αὐτῷ γε τούτῳ παρακολουθεῖν πειρῶ, ὅτι παρὰ τὸν λόγον. εἰ γὰρ καὶ ἡ συναίσθησις τοῦ ἁμαρτάνειν οἰχήσεται, τίς ἔτι τοῦ ζῆν αἰτία; Πάντα ὅσα ὁρᾷς, ὅσον οὔπω μεταβαλεῖ ἡ τὰ ὅλα διοικοῦσα φύσις, καὶ ἄλλα ἐκ τῆς οὐσίας αὐτῶν ποιήσει. καὶ πάλιν ἄλλα ἐκ τῆς ἐκείνων οὐσίας, ἵνα ἀεὶ νεαρὸς ᾖ ὁ κόσμος. Ὅταν τις ἁμάρτῃ τι εἰς σὲ, εὐθὺς ἐνθυμοῦ τί ἀγαθὸν ἢ κακὸν ὑπολαβὼν ἥμαρτε. τοῦτο γὰρ ἰδὼν, ἐλεήσεις αὐτὸν, καὶ οὔτε θαυμάσεις, οὔτε ὀργισθήσῃ.

ἤδη

ἤτοι γὰρ καὶ αὐτὸς τὸ αὐτὸ ἐκείνῳ ἀγαθὸν ἔτι ὑπολαμβάνεις, ἢ ἄλλο ὁμοειδές. δεῖ οὖν συγγινώσκειν. εἰ δὲ μηκέτι ὑπολαμβάνεις τὰ τοιαῦτα ἀγαθὰ καὶ κακὰ, ῥᾷον εὐμενὴς ἔσῃ τῷ παρορῶντι. Μὴ τὰ ἀπόντα ἐννοεῖν ὡς ἤδη ὄντα· ἀλλὰ τῶν παρόντων τὰ δεξιώτατα ἐκλογίζεσθαι, καὶ τούτων χάριν ὑπομιμνήσκεσθαι, πῶς ἂν ἐπεζητεῖτο, εἰ μὴ παρῆν· ἅμα μέντοι φυλάσσου, μὴ διὰ τοῦ οὕτως ἀσμενίζειν αὐτοῖς, ἐθίσῃς ἐκτιμᾶν αὐτὰ, ὥστε ἐὰν ποτὲ μὴ παρῇ ταραχθήσεσθαι. εἰς αὑτὸν συνειλοῦ. φύσιν ἔχει τὸ λογικὸν ἡγεμονικὸν, ἑαυτῷ ἀρκεῖσθαι δικαιοπραγοῦντι, καὶ παρ' αὐτὸ τοῦτο γαλήνην ἔχοντι. ἐξάλειψον τὴν φαντασίαν. στῆσον τὴν νευροσπαστίαν. περίγραψον τὸ ἐνεστὼς τοῦ χρόνου, γνώρισον τὸ συμβαῖνον, ἢ σοὶ, ἢ ἄλλῳ, δίελε καὶ μέρισον τὸ ὑποκείμενον, εἰς τὸ αἰτιῶδες καὶ ὑλικόν. ἐννόησον τὴν ἐσχάτην ὥραν. Τὸ ἐκείνῳ ἁμαρτηθὲν, ἐκεῖ κατάλιπε, ὅπου ἡ ἁμαρτία ὑπέστη. συμπαρεκτείνειν τὴν νόησιν τοῖς λεγομένοις. εἰσδύεσθαι τὸν νοῦν εἰς τὰ γινόμενα καὶ ποιοῦντα. Φαίδρυνον σεαυτὸν ἁπλότητι καὶ αἰδοῖ, καὶ τῇ πρὸς τὸ ἀνὰ μέσον ἀρετῆς καὶ κακίας ἀδιαφορίᾳ. φίλησον τὸ ἀνθρώπινον γένος ἀκολούθησον θεῷ. ἐκεῖνος μέν φησιν, ὅτι πάντα νομιστί. ἔτι εἰ δαίμονα τὰ στοιχεῖα. ἀρκεῖ δὲ μεμνῆσθαι, ὅτι τὰ πάντα νομιστὶ ἔχει, ἢ

δηλίαν

δη λίαν ὀλίγα. Περὶ θανάτου, εἰ σκεδασμὸς, ἢ ἄτομοι, ἢ κένωσις, ἤτοι σβέσις, ἢ μετάστασις. Περὶ πόνου· τὸ μὲν ἀφόρητον, ἐξάγει. τὸ δὲ χρονίζον, φορητόν. καὶ ἡ διάνοια τὴν ἑαυτῆς γαλήνην κατὰ ἀπόληψιν διατηρεῖ, καὶ οὐ χεῖρον τὸ ἡγεμονικὸν γέγονεν. Τὰ δὲ κακούμενα μέρη ὑπὸ τοῦ πόνου, εἴ τι δύναται, περὶ αὐτοῦ ἀποφηνάσθω. Περὶ δόξης ἴδε τὰς διανοίας αὐτῶν, οἷαι. καὶ οἷα μὲν φεύγουσι. οἷα δὲ διώκουσι. καὶ ὅπως αἱ θῖνες ἄλλαι ἐπ' ἄλλαις ἐπιφορούμεναι κρύπτουσι τὰ πρότερα· οὕτως ἐν τῷ βίῳ, τὰ πρότερα ὑπὸ τῶν ἐπενεχθέντων τάχιστα ἐκαλύφθη. Πλατωνικόν. ᾧ οὖν ὑπάρχει διάνοια μεγαλοπρεπὴς, καὶ θεωρία παντὸς μὲν χρόνου, πάσης δὲ οὐσίας, ἆρα οἴει τούτῳ μέγα τι δοκεῖν εἶναι τὸν ἀνθρώπινον βίον; ἀδύνατον, ἦ δ' ὅς. οὐκοῦν καὶ θάνατον οὐ δεινόν τι ἡγήσεται ὁ τοιοῦτος; ἥκιστά γε. Ἀντισθενικόν. Βασιλικὸν μὲν εὖ πράττειν, κακῶς δὲ ἀκούειν. αἰσχρόν ἐστι τὸ μὲν πρόσωπον ὑπήκοον εἶναι καὶ σχηματίζεσθαι, καὶ κατακοσμεῖσθαι ὡς κελεύει ἡ διάνοια, αὐτὴν δ' ὑφ' ἑαυτῆς μὴ σχηματίζεσθαι καὶ κατακοσμεῖσθαι.

Τοῖς πράγμασι γὰρ οὐχὶ θυμοῦσθαι χρεών·
Μέλει γὰρ αὐτοῖς οὐδέν.
Ἀθανάτοις τε θεοῖς, καὶ ἡμῖν χάρματα δοίης·
Βίον θερίζειν ὥστε κάρπιμον στάχυν.
Καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή.

Εἰ δ'

Εἰ δ' ἠμελήθην ἐκ θεῶν καὶ παῖδ' ἐμώ,
Ἔχει λόγον καὶ τοῦτο.

Τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον. μὴ συνεπιθρηνεῖν. μὴ σφύζειν.

## ΠΛΑΤΩΝΙΚΆ.

Ἐγὼ δὲ τούτῳ δίκαιον ἂν λόγον ἀντείποιμι. ὅτι οὐ καλῶς λέγεις ὦ ἄνθρωπε, εἰ οἴει δεῖν κίνδυνον ὑπολογίζεσθαι τοῦ ζῆν, ἢ τεθνάναι ἄνδρα, ὅτου τι καὶ σμικρὸν ὄφελος. ἀλλ' οὐκ ἐκεῖνο μόνον σκοπεῖν ὅταν πράττῃ, πότερον δίκαια ἢ ἄδικα πράττει, καὶ ἀνδρὸς ἀγαθοῦ ἔργα ἢ κακοῦ. οὕτω γὰρ ἔχει ὦ ἄνδρες Ἀθηναῖοι τῇ ἀληθείᾳ, οὗ ἄν τις αὑτὸν τάξῃ ἡγησάμενος βέλτιστον εἶναι, ἢ ὑπ' ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ ὡς ἐμοὶ δοκεῖ μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον, μήτε θάνατον, μήτε ἄλλο μηδὲν πρὸ τοῦ αἰσχροῦ. Ἀλλ' ὦ μακάριε, ὅρα μὴ ἄλλο τι τὸ γενναῖον, καὶ τὸ ἀγαθὸν, ἢ τὸ σώζειν τι καὶ σώζεσθαι. μὴ γὰρ τοῦτο μὲν τὸ ζῆν ὁπόσον δὴ χρόνον τόν γε ὡς ἀληθῶς ἄνδρα ἐατέον ἐστί. καὶ οὐ φιλοψυχητέον, ἀλλ' ἐπιτρέψαντα περὶ τούτων τῷ θεῷ, καὶ πιστεύσαντα ταῖς γυναιξὶν, ὅτι τὴν εἱμαρμένην οὐδεὶς ἂν ἐκφύγοι. Τὸ ἐπὶ τούτῳ σκεπτέον, τίνα ἂν τρόπον τοῦτον ὃν μέλλει χρόνον βιῶναι ὡς ἄριστα βιῴη. Περισκοπεῖν ἄστρων δρόμους, ὥσπερ συμπεριθέοντα·

καὶ

καὶ τὰς τῶν στοιχείων εἰς ἄλληλα μεταβολὰς συνεχῶς ἐννοεῖν. ἀποκαθαίρουσι γὰρ αἱ τούτων φαντασίαι τὸν ῥύπον τοῦ χαμαὶ βίου. Καλὸν δὲ τοῦ Πλάτωνος· καὶ δὴ περὶ ἀνθρώπων τοὺς λόγους ποιούμενον, ἐπισκοπεῖν δεῖ καὶ τὰ ἐπίγεια, ὥσπερ ποθὲν ἄνωθεν κατ᾽ ἀγέλας, στρατεύματα, γεώργια, γάμους, διαλύσεις, γενέσεις, θανάτους, δικαστηρίων θόρυβον, ἐρήμους χώρας, βαρβάρων ἔθνη ποικίλα, ἑορτάς, θρήνους, ἀγοράς, τὸ παμμιγὲς καὶ τὸ ἐκ τῶν ἐναντίων συγκοσμούμενον. Τὰ προγεγονότα ἀναθεωρεῖν· τὰς τοσαύτας τῶν ἡγεμονιῶν μεταβολάς. ἔξεστι καὶ τὰ ἐσόμενα προεφορᾶν. ὁμοειδῆ γὰρ πάντως ἔσται, καὶ οὐχ οἷόν τε ἐκβῆναι τοῦ ῥυθμοῦ τῶν νῦν γινομένων. ὅθεν καὶ ἴσον, τὸ τεσσαράκοντα ἔτεσιν ἱστορῆσαι τὸν ἀνθρώπινον βίον, τῷ ἐπὶ ἔτη μύρια. τί γὰρ πλέον ὄψει; καὶ τὰ ἐκ γῆς μὲν φύντα, εἰς γαῖαν· τὰ δ᾽ ἀπ᾽ αἰθερίου βλαστόντα γονῆ, εἰς αἰθέριον πάλιν ἦλθε πόλον. ἢ τοῦτο διάλυσις τῶν ἐν ταῖς ἀτόμοις ἀντεμπλοκῶν, καὶ τοιοῦτός τις σκορπισμὸς τῶν ἀπαθῶν στοιχείων.

Καὶ σίτοισι καὶ ποτοῖς, καὶ μαγγανεύμασι
Παρεκτρέποντες ὀχετόν, ὥστε μὴ θανεῖν.
Θεόθεν δὲ πνέοντ᾽ οὖρον
Ἀνάγκη τλῆναι καμάτοις ἀνοδύρτοις.

Οὐκ ἔστιν ἀρχὴ τοῦτο, ἀλλ᾽ τοῦ ἀνωτέρω τῶν πρὸ

τῶν

τῶν Πλατωνικῶν συναφές. Καββαλιώτερος, ἀλλ' οὐχὶ κοινωνικώτερος, οὐδὲ αἰδημονέστερος, οὐδ' εὐτακτότερος ἐπὶ τοῖς συμβαίνουσιν, οὐδ' εὐμενέστερος πρὸς τὰ τῶν πλησίον παροράματα. Ὅπου ἔργον ἐπιτελεῖσθαι δύναται κατὰ τὸν κοινὸν θεοῖς καὶ ἀνθρώποις λόγον, ἐκεῖ οὐδὲν δεινόν· ὅπου γὰρ ὠφελείας τυχεῖν ἔξεστι, διὰ τῆς εὐοδούσης, καὶ κατὰ τὴν κατασκευὴν προϊούσης ἐνεργείας, ἐκεῖ οὐδεμίαν βλάβην ὑφορατέον. Πανταχοῦ καὶ διηνεκῶς ἐπὶ σοί ἐστι καὶ τῇ παρούσῃ συμβάσει θεοσεβῶς εὐαρεστεῖν, καὶ τοῖς παροῦσιν ἀνθρώποις κατὰ δικαιοσύνην προσφέρεσθαι καὶ τῇ οὔσῃ φαντασίᾳ ἐμφιλοτεχνεῖν, ἵνα μή τι ἀκατάληπτον παρεισρυῇ. Μὴ περιβλέπου ἀλλότρια ἡγεμονικά· ἀλλ' ἐκεῖ βλέπε κατ' εὐθύ, ἐπὶ τί σε ἡ φύσις ὁδηγεῖ, ἥ τε τοῦ ὅλου διὰ τῶν συμβαινόντων σοι, καὶ ἡ σὴ διὰ τῶν πρακτέων ὑπὸ σοῦ. πρακτέον δὲ ἑκάστῳ τὸ ἑξῆς τῇ κατασκευῇ. κατεσκεύασται δὲ τὰ μὲν λοιπὰ τῶν λογικῶν ἕνεκεν, ὥσπερ καὶ ἐπὶ παντὸς ἄλλου, τὰ χείρω τῶν κρειττόνων ἕνεκεν, τὰ δὲ λογικὰ ἀλλήλων ἕνεκεν. Τὸ μὲν οὖν προηγούμενον ἐν τῇ τοῦ ἀνθρώπου κατασκευῇ τὸ κοινωνικόν ἐστι. δεύτερον δὲ τὸ ἀνένδοτον πρὸς τὰς σωματικὰς πείσεις. λογικῆς γὰρ καὶ νοερᾶς κινήσεως ἴδιον περιορίζειν ἑαυτὴν, καὶ μήποτε ἡττᾶσθαι μήτε αἰσθητικῆς μήτε ὁρμητικῆς κινήσεως· ζωώδεις γὰρ ἑκάτεραι. ἡ δὲ νοερὰ ἐθέλει πρωτιστεύειν, καὶ μὴ

κατακρατεῖσθαι ὑπ' ἐκείνων δικαίως γε. πέφυκε γὰρ χρηστικὴ πᾶσιν ἐκείνοις. τρίτον ἐν τῇ λογικῇ κατασκευῇ τὸ ἀπρόπτωτον καὶ ἀνεξαπάτητον. τούτων οὖν ἐχόμενον τὸ ἡγεμονικὸν εὐθεῖα περαινέτω, καὶ ἔχει τὰ ἑαυτοῦ. Ὡς ἀποτεθνηκότα δεῖ καὶ μέχρι νῦν βεβιωκότα, τὸ λοιπὸν ἐκ τοῦ περιόντος ζῆσαι κατὰ τὴν φύσιν, μόνον φιλεῖν τὸ ἑαυτῷ συμβαῖνον καὶ συγκλωθόμενον. τί γὰρ ἁρμοδιώτερον; Ἐφ' ἑκάστου συμβάματος ἐκείνους πρὸ ὀμμάτων ἔχειν, οἷς τὰ αὐτὰ συνέβαινεν. ἔπειτα ἤχθοντο, ἐξενίζοντο, ἐμέμφοντο. νῦν οὖν ἐκεῖνοι ποῦ; οὐδαμοῦ. Τί οὖν καὶ σὺ θέλεις ὁμοίως; οὐχὶ δὲ τὰς μὲν ἀλλοτρίας τροπὰς καταλιπεῖν τοῖς τρέπουσι καὶ τρεπομένοις; αὐτὸς δὲ περὶ τὸ πῶς χρῆσθαι αὐτοῖς ὅλος γίνεσθαι. χρήσῃ γὰρ καλῶς, καὶ ὕλη σου ἔσται, μόνον πρόσεχε καὶ θέλε σεαυτῷ καλὸς εἶναι, ἐπὶ παντὸς οὗ πράσσεις, καὶ μέμνησο ἀμφοτέρων, ὅτι καὶ διάφορον ἐφ' οὗ ἡ πρᾶξις. Ἔνδον βλέπε, ἔνδον ἡ πηγὴ τοῦ ἀγαθοῦ, καὶ ἀεὶ ἀναβλύειν δυναμένη, ἐὰν ἀεὶ σκάπτῃς. Δεῖ καὶ τὸ σῶμα πεπηγέναι, καὶ μὴ διερρίφθαι, μήτε ἐν κινήσει, μήτε ἐν σχέσει. οἷον γάρ τι ἐπὶ τοῦ προσώπου παρέχεται ἡ διάνοια, συνετὸν αὐτὸ καὶ εὔσχημον συντηροῦσα, τοιοῦτο καὶ ἐπὶ ὅλου τοῦ σώματος ἀπαιτητέον, πάντα δὲ ταῦτα σὺν τῷ

ἀνεπι

ἀνεπιπτώτῳ φυλακτικά. Ἡ βιωτικὴ τῇ παλαιστικῇ ὁμοιοτέρα ἤπερ τῇ ὀρχηστικῇ. κατὰ τὸ πρὸς τὰ ἐμπίπτοντα καὶ οὐ προεγνωσμένα, ἕτοιμος καὶ ἀπτῶς ἑστάναι. Συνεχῶς ἐφιστάναι, τίνες εἰσὶν οὗτοι ὑφ' ὧν μαρτυρεῖσθαι θέλεις, καὶ τίνα ἡγεμονικὰ ἔχουσιν. οὔτε γὰρ μέμψῃ τοῖς ἀκουσίως πταίουσιν, οὔτε ἐπιμαρτυρήσεως δεήσῃ, ἐμβλέπων εἰς τὰς πηγὰς τῆς ὑπολήψεως καὶ ὁρμῆς αὐτῶν. Πᾶσα ψυχὴ ἄκουσα (φησιν) στέρεται ἀληθείας. οὕτως οὖν καὶ δικαιοσύνης καὶ σωφροσύνης, καὶ εὐμενείας, καὶ παντὸς τοῦ τοιούτου. ἀναγκαιότατον δὲ τὸ διηνεκῶς τούτου μεμνῆσθαι· ἔσῃ γὰρ πρὸς πάντας πρᾳότερος. ἐπὶ μὲν παντὸς πόνου, πρόχειρον ἔστω ὅτι οὐκ αἰσχρὸν, οὐδὲ τὴν διάνοιαν τὴν κυβερνῶσαν χείρω ποιεῖ. οὔτε γὰρ καθὸ ὑλική ἐστιν, οὔτε καθὸ κοινωνική διαφθείρει αὐτήν. ἐπὶ μέντοι τῶν πλείστων πόνων, καὶ τὸ τοῦ Ἐπικούρου σοι βοηθείτω, ὅτι οὔτε ἀφόρητον οὔτε αἰώνιον, ἐὰν τῶν ὅρων μνημονεύῃς, καὶ μὴ προσδοξάζῃς. κἀκείνου δὲ μέμνησο ὅτι πολλὰ πόνῳ τὰ αὐτὰ ὄντα, λανθάνει δυσχεραινόμενα. οἷον τὸ νυστάζειν, καὶ τὸ καυματίζεσθαι, καὶ τὸ ἀνορεκτεῖν. ὅταν οὖν τινι τούτων δυσαρεστῇς, λέγε ἑαυτῷ, ὅτι πόνῳ ἐνδίδως. Ὅρα μήποτε τοιοῦτον πάθῃς πρὸς τοὺς ἀπανθρώπους, οἷον οἱ ἄνθρω-

τοι πρὸς τοὺς ἀνθρώπους. Πόθεν ἴσμεν εἰ Τηλαύγης Σωκράτης, καὶ διάθεσιν κρείττων ἦν. οὐ γὰρ ἀρκεῖ εἰ Σωκράτης ἐνδοξότερον ἀπέθανεν, καὶ ἐντρεχέστερον τοῖς σοφισταῖς διελέγετο, καὶ καρτερικώτερον ἐν τῷ πάγῳ διενυκτέρευεν, καὶ τὸν Σαλαμίνιον κελευσθεὶς ἄγειν, γενναιότερον ἔδοξεν ἀντιβῆναι, καὶ ἐν τοῖς ὁδοῖς ἐβρενθύετο· περὶ οὗ καὶ μάλις ἄν τις ἐπιστήσειεν εἴπερ ἀληθὲς ἦν. ἀλλ' ἐκεῖνο δεῖ σκοπεῖν, ποίαν τινὰ τὴν ψυχὴν εἶχε Σωκράτης. καὶ εἰ δύναιτο ἀρκεῖσθαι τῷ δίκαιος εἶναι τὰ πρὸς ἀνθρώπους, καὶ ὅσιος τὰ πρὸς θεούς, μήτε εἰκῇ πρὸς τὴν κακίαν ἀγανακτῶν, μηδὲ μὴν δουλεύων τινὸς ἀγνοίᾳ, μήτε τῶν ἀπονεμομένων ἐκ τοῦ ὅλου ὡς ξένον τι δεχόμενος, ἢ ὡς ἀφόρητον ὑπομένων, μήτε τοῖς τοῦ σαρκιδίου πάθεσιν ἐμπαρέχων συμπαθῆ τὸν νοῦν. Ἡ φύσις οὐχ οὕτως συνεκέρασε τῷ συγκρίματι, ὡς μὴ ἐφεῖσθαι περιορίζειν ἑαυτόν, καὶ τὰ ἑαυτοῦ ὑφ' ἑαυτῷ ποιεῖσθαι. λίαν γὰρ ἐνδέχεται θεῖον ἄνδρα γενέσθαι, καὶ ὑπὸ μηδενὸς γνωρισθῆναι. τούτου μέμνησο ἀεί, καὶ ἔτι ἐκείνου, ὅτι ἐν ὀλιγίστοις κεῖται τὸ εὐδαιμόνως βιῶσαι. καὶ μὴ ὅτι ἀπήλπισας διαλεκτικὸς καὶ φυσικὸς ἔσεσθαι, διὰ τοῦτο ἀπογνῷς καὶ ἐλεύθερος, καὶ αἰδήμων, καὶ κοινωνικός, καὶ εὐπειθὴς θεῷ. Ἀβιάστως διαζῆσαι ἐν πλείστῃ θυμηδίᾳ, κἂν πάν-

τες

τοὺς καταβιῶσιν ἅπαντα βούλονται, κἂν τὰ θη-
ρία διασπᾷ τὰ μελύδρια τοῦ περιτεθραμμένου
τούτου φυράματος. τί γὰρ κωλύει ἐν πᾶσι τούτοις
τὴν διάνοιαν σώζειν ἑαυτὴν ἐν γαλήνῃ, καὶ κρίσει
τῇ περὶ τῶν περιεστηκότων ἀληθεῖ, καὶ χρήσει
τῶν ὑποβεβλημένων ἑτοίμῃ; ὥστε τὴν μὲν κρί-
σιν λέγειν τῷ προσπίπτοντι, τοῦτο ὑπάρχεις
κατ᾽ οὐσίαν, κἂν κατὰ δόξαν ἀλλοῖον φαίνῃ. τὴν
δὲ χρῆσιν λέγειν τῷ ὑποπίπτοντι, σὲ ἐζήτουν. ἀεὶ
γάρ μοι τὸ παρὸν ὕλη ἀρετῆς λογικῆς καὶ πολιτι-
κῆς. καὶ τὸ σύνολον τέχνης ἀνθρώπου ἢ θεοῦ. πᾶν
γὰρ τὸ συμβαῖνον, θεῷ ἢ ἀνθρώπῳ ἐξοικειοῦται, καὶ
οὔτε καινὸν, οὔτε δυσμεταχείριστον, ἀλλὰ γνώ-
ριμον καὶ εὐεργές. τοῦτο ἔχει ἡ τελειότης τοῦ
ἤθους, τὸ πᾶσαν ἡμέραν ὡς τελευταίαν διεξά-
γειν, καὶ μήτε σφύζειν, μήτε ναρκᾶν, μήτε ὑπο-
κρίνεσθαι. Οἱ θεοὶ ἀθάνατοι ὄντες, οὐ δυσχε-
ραίνουσιν, ὅτι ἐν τοσούτῳ αἰῶνι δεήσει αὐτοὺς
πάντως ἀεὶ τοιούτων ὄντων καὶ τοσούτων φαύ-
λων ἀνέχεσθαι. προσέτι δὲ καὶ κήδονται αὐ-
τῶν παντοίως. σὺ δὲ ὅσον οὐδέπω λήγειν μέλ-
λων ἀπαυδᾷς, καὶ ταῦτα εἷς ὢν τῶν φαύ-
λων. Γελοῖόν ἐστι τὴν μὲν ἰδίαν κακίαν μὴ φεύ-
γειν, ὃ καὶ δυνατόν ἐστι· τὴν δὲ τῶν ἄλλων
φεύγειν, ὅπερ ἀδύνατον. Ὃ ἂν ἡ λογικὴ καὶ
πολιτικὴ δύναμις εὑρίσκῃ μήτε νοερὸν, μή τε

κοινωνικὸν, εὐλόγως κατὰ δεύτερον ἑαυτῆς κρίνει. Ὅταν σὺ εὖ πεποιηκὼς ᾖς, καὶ ἄλλος εὖ πεπονθὼς, τί ἔτι ζητεῖς τρίτον παρὰ ταῦτα ὥσπερ οἱ μωροὶ, τὸ καὶ δόξαι εὖ πεποιηκέναι, ἢ τὸ ἀμοιβῆς τυχεῖν. Οὐδεὶς κάμνει ὠφελούμενος, ὠφέλεια δὲ πρᾶξις κατὰ φύσιν. μὴ οὖν κάμνε ὠφελούμενος, ἐν ᾧ ὠφελεῖς. Ἡ τοῦ ὅλου φύσις ἐπὶ τὴν κοσμοποιίαν ὥρμησεν. νῦν δὲ ἤτοι πᾶν τὸ γινόμενον κατ' ἐπακολούθησιν γίνεται, ἢ ἀλόγιστα καὶ τὰ κυριώτατά ἐστιν, ἐφ' ἃ ποιεῖται ἰδίαν ὁρμὴν τὸ τοῦ κόσμου ἡγεμονικόν. εἰς πολλά σε γαληνότερον ποιήσει, τοῦτο μνημονευόμενον.

# ΜΆΡΚΟΥ ἈΝΤΩΝΊΝΟΥ αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν βιβλίον η.

Καὶ τοῦτο πρὸς τὸ ἀκενόδοξον φέρει, ὅτι οὐκ ἔτι δύνασαι τὸν βίον ὅλον, ἢ τόν γε ἀπὸ νεότητος φιλόσοφον βεβιωκέναι· ἀλλὰ πολλοῖς τε ἄλλοις, καὶ αὐτὸς σεαυτῷ δῆλος γέγονας, πόῤῥω φιλοσοφίας ὤν. πέφυρσαι οὖν, ὥστε τὴν μὲν δόξαν τὴν τοῦ φιλοσόφου